Ὦ σύγγον', ἐλθὼν λαὸν εἰς αὐτόχθονα
κλεινῶν Ἀθηνῶν, οἶσθα γὰρ θεᾶς πόλιν,
λαβὼν βρέφος νεογνὸν ἐκ κοίλης πέτρας
αὐτῷ σὺν ἄγγει σπαργάνοισί θ' οἷς ἔχει
ἔνεγκε Δελφῶν τἀμὰ πρὸς χρηστήρια,
καὶ θὲς πρὸς αὐταῖς εἰσόδοις δόμων ἐμῶν.
τὰ δ' ἄλλ', ἐμὸς γάρ ἐστιν, ὡς εἰδῇς, ὁ παῖς,
ἡμῖν μελήσει. Λοξίᾳ δ' ἐγὼ χάριν
πράσσων ἀδελφῷ πλεκτὸν ἐξάρας κύτος
ἤνεγκα, καὶ τὸν παῖδα κρηπίδων ἔπι
τίθημι ναοῦ τοῦδ', ἀναπτύξας κύτος
ἑλικτὸν ἀντίπηγος, ὡς ὁρῷθ' ὁ παῖς.
κυρεῖ δ' ἅμ' ἱππεύοντος ἡλίου κύκλῳ
προφῆτις εἰσβαίνουσα μαντεῖον θεοῦ·
ὄψιν δὲ προσβαλοῦσα παιδὶ νηπίῳ
ἐθαύμασ' εἴ τις Δελφίδων τλαίη κόρη
λαθραῖον ὠδῖν' ἐς θεοῦ ῥῖψαι δόμον,
ὑπὲρ δὲ θυμέλας διορίσαι πρόθυμος ἦν·
οἴκτῳ δ' ἀφῆκεν ὠμότητα, καὶ θεὸς
συνεργὸς ἦν τῷ παιδὶ μὴ 'κπεσεῖν δόμων.
τρέφει δέ νιν λαβοῦσα· τὸν σπείραντα δὲ
οὐκ οἶδε Φοῖβον, οὐδὲ μητέρ' ἧς ἔφυ,
ὁ παῖς τε τοὺς τεκόντας οὐκ ἐπίσταται.
νέος μὲν οὖν ὢν ἀμφὶ βωμίους τροφὰς
ἠλᾶτ' ἀθύρων· ὡς δ' ἀπηνδρώθη δέμας,
Δελφοί σφ' ἔθεντο χρυσοφύλακα τοῦ θεοῦ
ταμίαν τε πάντων πιστόν, ἐν δ' ἀνακτόροις
θεοῦ καταζῇ δεῦρ' ἀεὶ σεμνὸν βίον.
Κρέουσα δ' ἡ τεκοῦσα τὸν νεανίαν
Ξούθῳ γαμεῖται συμφορᾶς τοιᾶσδ' ὕπο·
ἦν ταῖς Ἀθήναις τοῖς τε Χαλκωδοντίδαις,
οἳ γῆν ἔχουσ' Εὐβοΐδα, πολέμιος κλύδων·
ὃν συμπονήσας καὶ ξυνεξελὼν δορὶ
γάμων Κρεούσης ἀξίωμ' ἐδέξατο,
οὐκ ἐγγενὴς ὤν, Αἰόλου δὲ τοῦ Διὸς
γεγὼς Ἀχαιός· χρόνια δὲ σπείρας λέχη,